+

# ΚΟΙΝΗ ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ
# ΕΜΜΕΛΕΙΑΣ, ΝΟΝΝΗΣ & ΑΝΘΟΥΣΗΣ,
## ΜΗΤΕΡΩΝ ΤΩΝ ΑΓΙΩΝ ΤΡΙΩΝ ΙΕΡΑΡΧΩΝ
(ἑορταζομένων τῇ 30ῇ Μαΐου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
φιλαγίῳ αἰτήσει τοῦ αἰδεσιμολογιωτάτου
πρωτοπρεσβυτέρου
π. Ἰωάννου Βερνέζη, προϊσταμένου τοῦ Ἱεροῦ
Προσκυνήματος
Ἁγίου Ἰωάννου τοῦ Ῥώσσου εἰς Προκόπιον Εὐβοίας

* Ἅγιον Ὄρος Ἄθως * ͵βιβ´ * 2012 *




**Τῌ Λ΄ ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ**
**ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΩΝ ΜΗΤΕΡΩΝ ΤΩΝ ΤΡΙΩΝ ΙΕΡΑΡΧΩΝ**
**ΕΜΜΕΛΕΙΑΣ, ΝΟΝΝΗΣ & ΑΝΘΟΥΣΗΣ**

* * *

**ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ**

Ἱστῶμεν στίχους Ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῆς ὑπερθέου Τριάδος, σκεύη πανεύοσμα, Ἱεραρχῶν τριάδος, τὰς ἁγίας Μητέρας, Ἐμμέλειάν τε Νόνναν καὶ σὺν αὐταῖς, τὴν Ἀνθοῦσαν τιμήσωμεν, ὡς χριστοψύχους εἰκόνας θεοσεβοῦς, συζυγίαςκαὶ μητρότητος.

Τῆς συζυγίας τὰ βάρη, οὐκ ἐνεπόδισαν, ὑμᾶς σεπταὶ Μητέρες, τὰς ψυχὰς ἀνυψῶσαι, πρὸς Κύριον ἐξ Οὗπερ, χάριν πολλήν, ὡς μισθὸν ἀπειλήφατε, τεκεῖν τοὺς τρεῖς Ἱεράρχας θεολαμπεῖς, Ἐκκλησίας τὰ καυχήματα.

Καθάπερ Ἄννα ἡ στεῖρα, καρπὸν εὐχῆς Σαμουήλ, οὕτω καὶ σὺ εὐχαῖς σου, θεία Νόννα ἐδέξω, Γρηγόριον ὡς δῶρον παρὰ Θεοῦ, Θεολόγον τὸν δεύτερον, μεθ' οὗ Κυρίῳ πρεσβεύετε καὶ ἡμῶν, τῶν ψυχῶν λῦσαι τὴν στείρωσιν.

Ἐκ γεννητόρων ἁγίων, κληρονομήσασα, Ἐμμέλεια θεόφρον, εὐσεβείας τὴν χάριν, διὸ σὺν τῷ συζύγῳ κλῆρον λαμπρόν, ταύτην τέκνοις ἐνείματε, ἐξ ὧν Βασίλειος μέγας ὥσπερ ἀστήρ, Ἐκκλησίαν κατελάμπρυνε.

Ἄνθος πανεύοσμον ἔφυς, τῆς Ἐκκλησίας σεμνή, ἐξ ἧς καρπὸς προῆλθεν, Ἰωάννης ὁ θεῖος, ὁ μέγας ἱεράρχης, στόμα χρυσοῦν, ὁ ἐν σώματι ἄγγελος, ὅνπερ Ἀνθοῦσα θυσίαν ὁλοτελῆ, τῷ Δεσπότῃ ἀφιέρωσας.

Οἵας γυναῖκας ἡ Χάρις, τοῦ θείου Πνεύματος, δείκνυσι θαυμασίας, ὡς τριάδα Μητέρων, Ἀνθούσης Ἐμμελείας Νόννης σεπτῶν, αἳ Χριστὸν ἐμφυτεύσασαι, υἱῶν ψυχαῖς ἐκ νηπίων τοὺς τρεῖς κλεινούς, Ἱεράρχας ἐτεχνούργησαν.

Δόξα. Ἦχος πλ.β΄.

Ὡς καλλίκαρποι ἐλαῖαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ὅσιαι Μητέρες, καὶ θαυμασίως ἐτεκνοτροφήσατε, καὶ σύλλογον ὅλον ἁγίων προσηνέγκατε τῇ Ἐκκλησίᾳ, ἐν οἷς Βασίλειον τὸν Μέγαν, Γρηγόριον τὸν Θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόστομον, τοὺς τρεῖς μεγίστους φωστῆρας καὶ αἰωνίους διδασκάλους τῶν πιστῶν. Ὅθεν πανευγνωμόνως ἀπολαμβάνοντες τοὺς ἱεραρχικοὺς αὐτῶν καρπούς, καὶ εὐχαριστοῦντες ὑμᾶς σύντρεις, δεόμεθα πρεσβεύειν, ὅπως ἐν ἀρεταῖς καλλικαρποῦντες, γενώμεθα κληρονόμοι τῆς Βασιλείας τοῦ Χριστοῦ.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.
Τὰ ἀναγνώσματα

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(ἐκλογή)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα ἐστὶ λίθων πολυτελῶν· σκύλων οὐκ ἀπορήσει ἡ τοιαύτη. Εὑραμένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη. Μακρόθεν συνάγει ἑαυτῆς τὸν πλοῦτον καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο. Ἀπὸ δὲ τῶν καρπῶν τῶν

χειρῶν αὐτῆς κατεφύτευσεν κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο, ὅτι καλὸν τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τὰς χεῖρας αὐτῆς ἐκτείνει πρὸς τὰ συμφέροντα. Τοὺς πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Θύραν δὲ αὐτῆς διήνοιξε πένησι. Καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα δὲ αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώττῃ αὐτῆς. Στεναὶ διατριβαὶ οἴκων αὐτῆς. Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν, πολλαὶ ἐκτήσαντο πλοῦτον, πολλαὶ εὕραντο δόξαν. Σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικῶν οὐκ ἔστιν ἐν σοί. Γυνὴ γὰρ συνετὴ εὐλογεῖται. Φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
## (Κεφ. 3, 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
## (Κεφ. 5, 15-23 & 6, 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο

λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταί, περάτων γῆς, ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄.

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; διερωτώμενον τὸν Προφήτην, ὑμᾶς Μητέρες προβαλλόμεθα, τὰς ἱερὰς γεννητρίας τῶν Τριῶν ἁγιωτάτων ποιμένων τῆς Ἐκκλησίας. Σπουδάσασαι γὰρ γενναίων παίδων γενέσθαι μητέρες, οἰκοδόμοι χριστοφόρων καὶ ἐμψύχων ναῶν, ἀθλητῶν ἐπουρανίων ἐπιμεληταί, φιλοστόργως ἀλείφουσαι, σωφρόνως ἀνορθοῦσαι, πάντοθεν ἐργαζόμεναι τὴν ὠφέλειαν αὐτῶν, ἵνα καὶ τῶν στεφάνων αὐτοῖς κοινωνήσητε, τὸν δίκαιον μισθὸν τῆς ἁγιοπρεποῦς καλλιτεκνίας ἀπελάβετε· καὶ νῦν ἐν τῇ ἐπουρανίῳ Σιὼν μετ' αὐτῶν ἀγαλλόμεναι, ὑπὲρ ἡμῶν τῇ Παναγίᾳ Τριάδι διηνεκῶς πρεσβεύσατε.

Ἦχος β΄.

Ὁ τὴν δωδεκάκλωνον τεκνογονίαν τῷ Ἰακὼβ χαρισάμενος, καὶ ὑμῖν ἐχαρίσατο παμπλουσίως τοὺς παναρέτους καὶ ἁγιωτάτους υἱούς, τῆς Ἐκκλησίας τοὺς Τρεῖς πανσόφους στύλους, Μητέρες μακαριώταται. Ὅθεν ἐν Χριστῷ καυχώμεναι, χεῖρας ἐκτείνατε ἱκέτιδας, ὑπὲρ τῶν εὐσεβῶν μητέρων, ὅπως τῆς ὑμετέρας καλλιτεκνίας τῆς χαρᾶς μεθέξωσι.

Ἦχος γ΄.

Τῆς μὲν φύσεως ὑπάρχει ἡ τεκνοποιΐα, τῆς δὲ προαιρέσεως ἡ τεκνοτροφία καρπὸς ἐστί. Διὸ καὶ Παῦλος διὰ τοῦ Πνεύματος ἔφη, ὅτι ἡ γυνὴ σωθήσεται διὰ τῆς τεκνογονίας. Δεῖξαι δὲ βουλόμενος, ὅτι οὐ τὸ γεννῆσαι τέκνα, ἀλλὰ τὸ θρέψαι ταῦτα καλῶς, τοῦτο ἡμῖν φέρει τὸν μισθὸν, ἐπήγαγεν, Ἐὰν ἐπιμείνωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης. Ὅπερ ὑμεῖς μακάριαι ἀκούσασαι, πᾶσαν σπουδὴν ἐπεδείξασθε ὑπὲρ ἁπάσας τὰς γυναῖκας περιφανεῖς γενόμεναι, τῇ οἰκουμένῃ δωρησάμεναι τοὺς θεοφόρους Ἱεράρχας, μεθ' ὧν Χριστῷ πρεσβεύετε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Οὐκ ἄμισθος ἔσται τοῖς γονεῦσιν ἡ κατὰ Θεὸν παιδοτροφία. Οὐ γάρ ἐστι τοῦτο μικρόν, τὸ τὰ δοθέντα παιδία παρὰ Θεοῦ, ταῦτα ὡς λογικὰ πρόβατα Αὐτῷ ἀνατιθέναι. Ἂν γὰρ τὴν κρηπῖδα καὶ τοὺς θεμελίους καλοὺς τῆς καταβολῆς ἔχοιεν, μέγαν ἕξουσι τὸν μισθόν, ὥσπερ οὖν ἀμελοῦντες, κληρονομίαν τὴν κόλασιν. Ταῦτα οὖν καλῶς ὑμεῖς ἐπιστάμεναι μακάριαι, Ἐμμέλεια, Ἀνθοῦσα καὶ Νόννα, πᾶσαν σπουδὴν ἐπεδείξασθε, καλλιτεκνήσασαι τὴν Τριάδα τῶν Ἱεραρχῶν, μεθ' ὧν παρὰ Κυρίου μεγάλως ἐδοξάσθητε.

Δόξα. Ἦχος πλ.α΄.

Τῆς ῥίζης οὔσης καλῆς, οἱ κλάδοι ἐπὶ τὸ βέλτιον ἐκτείνονται, καὶ πάντων τούτων λαμβάνομεν τὸν καρπόν, ὡς μισθὸν εὐφρόσυνον. Ὡς οὖν οὐ μόνον μίαν ὠφελήσουσαι ψυχὴν, ἀλλὰ πολλὰς διὰ τῆς μιᾶς, οὕτω πάντα πράττουσαι, Μητέρες ἁγιώταται, στρατάρχας τῆς Ἐκκλησίας ἀνεδείξατε διὰ τῆς ἐπιμελοῦς τεκνοτροφίας, τοὺς Τρεῖς μεγίστους Ἱεράρχας. Ὅθεν σὺν αὐτοῖς παριστάμεναι τῷ πανδωρεοδότῃ Κυρίῳ, μὴ ἐπιλάθεσθε πρεσβεύειν, ὑπὲρ τῶν εὐλαβῶς τιμώντων τὴν ἱερὰν ὑμῶν πανήγυριν.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις, ἡ Βασιλείας Χριστοῦ,
ἐπιποθήσασα τὸ κάλλος Ἐμμέλεια,
καὶ τοῦτο τοῖς σοῖς ἐκγόνοις, ὡς μόνον βίου σκοπόν,
λόγοις τε καὶ ἔργοις ἐκδιδάξασα·
διὸ κατηξίωσαι, ἁγιότητος στέφανον,
λαβεῖν δικαίως, μετὰ τούτων θεόψυχε,
καὶ Βασίλειον, ὥσπερ τι ἀκροθίνιον,
φύναι τὸν πλήρη Πνεύματος,
καὶ γνώσεως ἔμπλεων, τῆς κοσμικῆς τε καὶ θείας,
Ἱεραρχῶν μέγα καύχημα.
Μεθ' οὗ τὸν Δεσπότην,
ἐκδυσώπει ὑπὲρ πάντων,
τῶν ἀνυμνούντων σε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις, ἡ τὸν σὸν νοῦν νοῦν Χριστοῦ,
μεταβαλοῦσα μῆτερ Νόννα πανάρετε,
καὶ σύζυγον καὶ τριάδα, τῶν βλαστημάτων ὑμῶν,

εἰς Θεοῦ ἀγάπην ὁδηγήσασα·
εὐχῇ δὲ Γρηγόριον, Θεολόγον γεννήσασα,
τὴν ἀτεκνίαν, σῆς γαστρὸς διαλύσαντα,
καὶ πολύτεκνον, Ἐκκλησίαν ἐνδείξαντα.
Ὕψωσον οὖν τὰς χεῖράς σου, Ὁσία πρὸς Κύριον,
καὶ τῶν ψυχῶν ἀτεκνίαν, ἡμῶν ταχέως ἀφάνισον,
πατέρας δεικνύσα, ἀρετῶν δι′ ὧν εἰκόνες,
Αὐτοῦ γενώμεθα.

Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ ὑπὲρ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

Χαίροις, τῆς Ἐκκλησίας Χριστοῦ,
ἄνθος Ἀνθοῦσα τοὺς πιστοὺς κατοσφραίνουσα,
εὐώδεσιν ἀρεταῖς σου,
καὶ βιοτῇ θαυμαστῇ,
τῆς ὄντως χηρείας ὑποτύπωσις.
Γαστὴρ ἡ βλαστήσασα,
Ἰωάννην τὸν πάγχρυσον,
Βασιλευούσης, ποιμενάρχην τὸν ἄριστον,
καὶ χρυσώσαντα, χριστωνύμων συστήματα·
τοῦτον ὡς συνευχέτην σου, Ἁγία παράλαβε,
καὶ Ἰησοῦν ἐξαιτεῖτε, ὑπὲρ ἡμῶν ὅπως εὕρωμεν,
ἐν Πόλει τῇ ἄνω, μετὰ πάντων τῶν Ἁγίων,
θείαν κατάπαυσιν.

Δόξα. Ἦχος β΄.

Τῇ θεοπαραδότῳ εὐλαβείᾳ μᾶλλον ἢ τῷ ἐκ μαζῶν τιμίῳ γάλακτι τιθηνήσασαι τοὺς ἱεροὺς ὑμῶν παῖδας, σύντρεις Μητέρες ὁσιώταται, ἄνδρας τελείους καὶ πεπληρωμένους τῷ Πνεύματι, τῇ Ἐκκλησίᾳ ἐχαρίσασθε αὐτοὺς ὡς ὁλοτελεῖς θυσίας, οἵτινες διηνεκῶς τοὺς πιστοὺς οἰκοδομοῦσιν καὶ ὁδηγοῦσιν εἰς Χριστόν, ταῖς θεοσόφοις αὐτῶν διδασκαλίας. Διὸ ὑμᾶς ὡς γεννητρίας τούτων, καὶ συνεργοὺς τῆς κοινῆς ἡμῶν σωτηρίας, μεγάλως τιμῶντες,

ὕμνοις εὐγνώμοσι γεραίρομεν, τὴν φαιδρὰν ὑμῶν ἑορτὴν,
Ἐμμέλεια, Νόννα καὶ Ἀνθοῦσα, μακαριώταται.
Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Νῦν ἀπολύεις. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν.
Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν Πατέρων Μητέρες Ἐκκλησίας ἐδείχθητε,
θείου Χρυσοστόμου Ἀνθοῦσα,
Βασιλείου Ἐμμέλεια,
καὶ Νόννα Γρηγορίου τοῦ κλεινοῦ,
μεθ᾽ ὧν ἐκδυσωπεῖτε τὸν Θεόν,
ὅπως Χάριν δῷ τοῦ Πνεύματος τοῖς ὑμῶν,
τὴν μνήμην ἑορτάζουσι,
τῶν δὲ γονέων τὰς εὐχάς,
δέχηται ἃς προσφέρουσιν,
ὑπὲρ τῶν τέκνων ἑαυτῶν,
ἐν πίστεως θερμότητι.

καὶ τὸ τῆς προλαβούσης ἑορτῆς

Ἀπόλυσις



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.

Τριῶν Ἱεραρχῶν, τὰς ὁσίας Μητέρας, Ἐμμέλειαν σεμνήν, καὶ τὴν πάνσεπτον Νόνναν, Ἀνθοῦσαν τὴν σώφρονα, ἐν ᾠδαῖς εὐφημήσωμεν, ἐξαιτούμενοι, εὐχὰς αὐτῶν τὰς ἁγίας, ὅπως Πνεύματος, ἐπιδημίᾳ ὡς τέκνα, ἀρετὰς κυοφορήσωμεν.

Δόξα. Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Μετὰ τὴν β΄ στιχολογίαν.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Θείῳ ἔρωτι καταφλεχθεῖσαι, ἐργαστήρια, ὑμῶν τοὺς οἴκους, ἁγιότητος σύντρεις ἐδείξατε, καὶ παγγενῶς τὸν Θεὸν ἐδοξάσατε, ὅσιαι Νόννα, Ἀνθοῦσα, Ἐμμέλεια· ὅθεν πρότυπα, γονέων πιστῶν γενόμεναι, στηρίξατε αὐτοὺς Χριστῷ πρεσβεύουσαι.

Δόξα. Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν κτησάμεναι τοῦ Θεοῦ, τῶν παρόντων ἐγνώκατε τὴν φθοράν, διὸ πρὸς τὰ μένοντα, καὶ οὐράνια βλέπουσαι, τὴν τεκνογονίαν, ὑμῶν ἐδιδάξατε, αὐτῶν ἐντρυφῆσαι καὶ κτήσασθαι ὅσιαι. Ὅθεν Ἰωάννην, τὸν χρυσοῦν ἡ Ἀνθοῦσα, ἡ Νόννα Γρηγόριον, Θεολόγον τὸν δεύτερον, καὶ Βασίλειον μέγιστον, Ἐμμέλεια ὡς δῶρα Χριστῷ, ἐν χαρᾷ ἀναθέμεναι, σὺν αὐτοῖς νῦν οἰκεῖτε, Παράδεισον γλύκιστον.

Δόξα. Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Οἱ Ἀναβαθμοί. Τὸ α´ ἀντίφωνον τοῦ δ´ ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.
Στίχος· Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;
Εὐαγγέλιον, Κατὰ Λουκᾶν· Ἀναστᾶσα Μαριάμ...
Ὁ Ν´ ψαλμός, Ἐλέησόν με ὁ Θεός.
Δόξα. Ταῖς τῶν σῶν Ἁγίων.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β´.
Στίχ. Ἐλεῆμον, Ἐλέησόν με ὁ Θεός....

Τὴν τοῦ Ἀρχαγγέλου ὑποκλέπτοντες φωνήν, πρὸς ὑμᾶς ἀναβοῶμεν, Μητέρες ἁγιώταται· Εὐλογημέναι σύντρεις ἐν ταῖς γυναιξίν, ὅτι ὑπερευλογημένοι ἀνεδείχθησαν οἱ καρποὶ τῶν κοιλιῶν ὑμῶν, οἱ θεῖοι ὄντως Ἱεράρχαι, ὧνπερ τὰ ὡς μέλι ἡδὺ διδάγματα πορἱζόμενοι, τῆς σωτηρίας ἐπιτυχεῖν εὐελπιστοῦμεν, καὶ σὺν αὐτοῖς τε καὶ ὑμῖν, συγκληρονόμοι τοῦ Παραδείσου γενώμεθα.

Ὁ Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς:
«Νόνναν τε Ἐμμέλειαν καὶ Ἀνθοῦσαν ᾄδω. Ἀ(θανάσιος)»
Ὠδὴ α´. Ἦχος δ´. Ἀναστάσεως ἡμέρα.

Νῦν εὐφρόσυνος ἡμέρα καὶ λαμπρὰ ἑορτή, τρεῖς γὰρ σεμναὶ μητέρες, τριῶν σεπτῶν Ἱεραρχῶν, συνεκάλεσαν ἡμᾶς, τιμῆσαι αὐτάς, καὶ βίους μιμήσασθαι, οἷς ἐδόξασαν Κύριον.

Οὐρανῶν τὴν Βασιλείαν, εἰ καὶ ζῶσαι ἐν γῇ, σύντρεις ἐπιποθοῦσαι, ἄνω ἀνήγετε τὸν νοῦν, καὶ Κυρίῳ προσηλοῦν, αὐτὸν μυστικῶς, σπουδάζουσαι ἔσχετε, ἐν ὑμῖν τὸν Παράδεισον.

Νυχθημέρως παρουσίαν πρὸ ὀμμάτων ὑμῶν, φέρουσαι τοῦ Δεσπότου, αὐτοῦ τὰς θείας ἐντολάς, ἐργαζόμεναι καρπόν, μητρῴας στοργῆς, Ποιμένας ἐσχήκατε, Ἐκκλησίας ἀριστόφρονας.

Θεοτοκίον

Νεουργήσασα τὸ γένος τῶν ἀνθρώπων Ἁγνή, τῇ τοῦ Χριστοῦ γεννήσει, τύπος ἐγένου γυναικῶν, μιμουμένων σὴν ζωήν, ἀγάπῃ Θεοῦ, μεθ' ὧν αἱ γεννήσασαι, Ἱεράρχας τρεῖς ἐτάχθησαν.

Ὠδὴ γ΄. Δεῦτε πόμα πίωμεν.

Ἃ σοι ἐχαρίσατο Θεός, ἐννεάριθμα τέκνα σεμνὴ Ἐμμέλεια, μετ' ἐμμελείας λαμπρᾶς, Χριστοῦ ἐναπέδειξας ναούς, φροντίδι μητρῴα σου.

Νόννα εἰσακήκοε Θεός, τὰς θερμάς σου δεήσεις καὶ τὴν στειρότητα, λύσας Γρηγόριον κλεινόν, ὡς ἄλλον παρέσχε Σαμουήλ, τῆς χάριτος ἔμπλεων.

Τίκτουσα ἡ Αἴγυπτος φασί, ἕνα τίκτει καὶ τοῦτον γενναῖον λέοντα, σὺ δὲ Ἀνθοῦσα ἱερά, Χρυσόστομον τὸν μονογενῆ, καὶ πάγχρυσον τέτοκας.

Θεοτοκίον

Ἐν σοὶ τὰς ἐλπίδας οἱ πιστοί, Θεοτόκε Παρθένε ἀνατιθέμεθα, τῆς σωτηρίας ἡμῶν, διὸ ἱκετεύουσα ἀεί, μὴ παύσῃς δεόμεθα.

Κάθισμα.
Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.

Τῆς Τριάδος τῇ πίστει πολιτευόμεναι, γυναικῶν ἀνεδείχθησαν ὑποδείγματα, Ἀνθοῦσα Νόννα αἱ σεμναὶ καὶ

Ἐμμέλεια, ἀφ′ ὧν ἐξήνθησε τριάς, τῶν σοφῶν Ἱεραρχῶν· ὅθεν τὴν πάντιμον μνήμην, αὐτῶν ἐν ὕμνοις τελοῦντες, τὸν Παντοδύναμον δοξάζομεν.

Δόξα. Καὶ νῦν.
Τῆς προλαβούσης ἑορτῆς.

Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.

Ἐλπιζομένων ἀγαθῶν, τῆς Βασιλείας τοῦ Θεοῦ, ἔχουσα Ἐμμέλεια νύσσαν, πειρασμοὺς ὑπέμεινας, βιοτικοὺς πιστεύουσα, ὅτι οὐκ ἀντάξια τούτων, καθάπερ Παῦλος διδάσκει ὑπάρχουσιν.

Μετὰ δακρύων τὰς εὐχάς, Νόννα προσέφερες Θεῷ, λύσιν ἀτεκνίας αἰτοῦσα, ὅθεν δῶρον εἴληφας, τὸν θαυμαστὸν Γρηγόριον, ὅνπερ εὐγνωμόνως ὡς θύμα, τῷ χορηγῷ τῆς ζωῆς ἀνταπέδωκας.

Μόνον χηρείας γλυκασμόν, Ἀνθοῦσα ἔχουσα υἱόν, τὸν μονογενῆ Ἰωάννην, τοῦτον ἐξεπαίδευσας, ἐν φιλοθέοις δόγμασιν, ἔδειξας χρυσοῦν ἱεράρχην, διὸ ἐν ὕμνοις τὴν μνήμην σου σέβομεν.

Θεοτοκίον

Εὐλογημένος ὁ καρπός, τῆς σῆς κοιλίας ἀληθῶς, πέφυκεν Ἁγνὴ Θεοτόκε, Ὃν φαγοῦσαι ἔζησαν, Ἱεραρχῶν γεννήτριαι, τῶν τριῶν καὶ οὐχ ὡς ἡ Εὔα, μεταλαβοῦσα καρποῦ τεθανάτωται.

Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Λαβοῦσα καρπὸν τῶν εὐχῶν σου, Νόννα Γρηγόριον λύσαντα στείρωσιν, ὡς προσφορὰν αὐτὸν σεπτήν, ἀφιέρωσας Θεῷ, ἐξ ὅλης ψυχῆς, διὸ καὶ ἡ μνήμη σου, εἰς αἰῶνας μεμένηκεν.

Ἐμμέλεια ἔχουσα ῥίζας, προγονικῆς ἁγιότητος δέδωκας, ταύτην ὡς κλῆρον ἱερόν, τοῖς σοῖς τέκνοις ἐν σπουδῇ, ποιῆσαι αὐτά, Χριστοῦ οἰκητήρια, τῇ δυνάμει τοῦ Πνεύματος.

Ἰδοῦσα υἱοῦ σου ἀγάπην, πρὸς τὸν ἀσκήσεως βίον ἱκέτευσας, ὅπως προσκαίρως τὴν φυγήν, ἀναβάλῃ ἕως οὗ, Ἀνθοῦσα ψυχήν, χερσὶ τοῦ Δεσπότου σου, παραδῷς τελευτήσασα.

Θεοτοκίον

Ἀγκάλαις ἐβάστασας Μῆτερ, τὸν Θεὸν Λόγον τὴν σάρκα φορέσαντα· ὅθεν τὸ γένος γυναικῶν, ἐν σοὶ χαίρει λυτρωθέν, ἀρχαίας ἀρᾶς, καὶ δόξαν ἀπείληφε, πάντα λόγον ὑπερβαίνουσαν.

ᾨδὴ ϛ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Ναμάτων, τῶν ζωηρῶν τοῦ Χριστοῦ, ἐμπλησθεῖσα ἐννεάδι σῶν τέκνων, μετέδωκας καὶ θεοειδεῖς, ὦ Ἐμμέλεια, ἀνιστόρησας σαῖς ἁγίαις εὐχαῖς, τοῦ Δεσπότου εἰκόνας.

Κανόνα, θεοφιλῶν γυναικῶν, ὀνομάζομέν σε Νόννα ὁσία, ἐκ πλάνης πρὸς πίστιν ἀληθῆ, τὸν σὸν σύζυγον, ὁδηγήσασα, καὶ ἐνίσχυσας ποιμανσίαν τὴν αὐτοῦ, ταῖς σοφαῖς συμβουλαῖς σου.

Ἀνθοῦσα, τοῦ Παραδείσου Θεοῦ, εὐωδέστατόν σε ἄνθος καλοῦμεν, παμμύριστον τέξασαν καρπόν, τὸν χριστόψυχον, καὶ χρυσοῦν ὑπὲρ χρυσόν, Ἰωάννην τὸν πάνυ.

Θεοτοκίον

Ἱλέως, τῷ γλυκυτάτῳ Χριστῷ, τὰς δεήσεις σου προσάγαγε
Μῆτερ, καὶ τοῦτον ἱκέτευε ἀεί, ὅπως ἄφεσιν, ὡς
Φιλάνθρωπος ὤν, δῷ ἡμῖν τῶν πταισμάτων.

Κοντάκιον. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.

Τριῶν Ἱεραρχῶν, τὰς ἁγίας Μητέρας.
τιμήσωμεν ὁμοῦ, Χρυσοστόμου Ἀνθοῦσαν,
καὶ Νόννα Γρηγορίου τε, Βασιλείου Ἐμμέλειαν,
ἱκετεύοντες, ὅπως γενώμεθα πάντες,
ἀρετόγονοι, καρποφοροῦντες Κυρίῳ,
ὡς τέκνα χαρίσματα.

Ὁ Οἶκος

Τῆς παναγίας καὶ σεπτῆς Τριάδος γεγονυῖαι σκηνώματα,
τῶν Τριῶν μεγίστων Ἱεραρχῶν καὶ ἀειλαμπῶν φωστήρων
μητέρες εὐλογημέναι ἀνεδείχθητε, τῇ θείᾳ χάριτι.
Τούτους γὰρ ἐν θεοσεβείᾳ καὶ εὐχαῖς ἀναθρέψασαι,
τελείους ἄνδρας παρεδώκατε,
εἰς αἰώνιον θησαυρισμὸν τῇ Ἐκκλησίᾳ.
Ὅθεν, οἱ διὰ τῶν ζωηῤῥύτων ναμάτων αὐτῶν
καθ' ἑκάστην εἰς Θεὸν ἀκορέστως στοιχειούμενοι,
εὐγνωμόνως ὑμῖν τὰς εὐχαριστηρίους ᾠδὰς ἀναμέλπομεν,
χριστόψυχοι Ἐμμέλεια, Νόννα καὶ Ἀνθοῦσα,
αἰτούμενοι, ὅπως εὔχησθε τῷ Κυρίῳ διηνεκῶς,
ἵνα καὶ ἡμεῖς πλουτήσωμεν καθάπερ τέκνα,
τοῦ Θείου Πνεύματος χαρίσματα.

Τὸ Συναξάριον

Τῇ Λ΄ τοῦ μηνὸς Μαΐου, μνήμην ἐπιτελοῦμεν τῶν ὁσίων
Μητέρων τῶν Τριῶν ἁγίων Ἱεραρχῶν, ἤτοι· Ἐμμελείας τοῦ
Μεγάλου Βασιλείου, Νόννης τοῦ ἁγίου Γρηγορίου τοῦ
Θεολόγου καὶ Ἀνθούσης τοῦ ἁγίου Ἰωάννου τοῦ
Χρυσοστόμου.

Στίχοι
Τριὰς Μητέρων Ἱεραρχῶν Ἁγίων,
Θείαν Τριάδα πρεσβεύετε σὺν τούτοις.
Μητέρες σήμερον τριῶν Ἱεραρχῶν γεραίρονται.

## Ὑπόμνημα

Τούτων τῶν ἁγιοτόκων καὶ φιλοθέων γυναικῶν, ἡ μὲν ὁσία Ἐμμέλεια ὑπῆρχεν ἐκ γονέων περιφανῶν τοῦ Πόντου χριστιανή, ἧς ἡ μάμμη Μακρίνα διετέλεσε μαθήτρια τοῦ ἐν ἁγίοις Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ. Συζευχθεῖσα δὲ τὸν ὡσαύτως εὐγενῆ καὶ θεοφιλέστατον Βασίλειον, ὅστις ἐκοιμήθη μετὰ τὴν γέννησιν τοῦ ὑστεροτόκου υἱοῦ Πέτρου ἐπισκόπου Σεβαστείας, ἐγέννησεν μετ' αὐτοῦ ἐννέα τέκνα, ἀναθρέψασα ἅπαντα τοῖς δόγμασι τῆς εὐαγγελικῆς ἀληθείας, ἔχουσα συνέριθον καὶ βοηθὸν ἐν πᾶσι τὴν πρωτότοκον θυγατέρα καὶ περιφανεστάτην ἐν ὁσίαις ἀναδειχθεῖσαν Μακρίναν, μεθ' ἧς τὸν ἐλαφρὺ ζυγὸν τῆς μοναχικῆς πολιτείας ἀναλαβοῦσα, πλῆθος πενήτων καὶ ὀρφανῶν διέθρεψεν ἐν ἡμέραις ἐνσκήψαντος δεινοῦ λιμοῦ. Πάντων δὲ τῶν βλαστῶν αὐτῆς ὑπερέκειτο ἀναμφιβόλως ὁ ἐν ἁγίοις ἱεράρχαις Βασίλειος ὁ Μέγας, ἐπίσκοπος Καισαρείας, ὁ ὑπέρλαμπρος φωστὴρ καὶ οἰκουμενικὸς διδάσκαλος τῆς Ἐκκλησίας. Ἐν βαθεῖ δὲ γήρατι φθάσασα ἀπῆλθεν εἰρηνικῶς εὐχομένη εἰς Ὃν παιδιόθεν ἠγάπησε Κύριον.

Νόννα δὲ ἡ ἁγιωτάτη, γονικὴν σχοῦσα τὴν εὐσέβειαν, συνεζεύχθη τὸν Γρηγόριον, ὃν ἐκ τῆς πλάνης τῶν Ὑψισταρίων μετέστρεψεν σοφῶς εἰς τὴν Ὀρθόδοξον πίστιν καὶ τὰ μάλιστα ἐβοήθησεν εἰς τὴν ἀναληφθεῖσαν παρ' αὐτοῦ εἶτα ἐπισκοπικὴν διακονίαν. Στεῖρα οὖσα ἐπὶ ἔτη πολλὰ καὶ ἐπιμόνως ἐκζητοῦσα παρὰ τοῦ δωρεοδότου Κυρίου τὴν γέννησιν τέκνου, διὰ θείας ὁράσεως ἔτεκεν πρῶτον τὸν μέγαν Γρηγόριον, τὸν Τριαδικὸν Θεολόγον καὶ ἀρχιεπίσκοπον τῆς Βασιλευούσης Κωνσταντινουπόλεως χρηματίσαντα, μετ' αὐτὸν δὲ τὴν σωφρονεστάτην Γοργονίαν καὶ τὸν ἁγιώτατον Καισάριον, ἀξιωθεῖσα πανοικεὶ συναριθμηθῆναι ἐν τῶ χορῷ τῶν Ἁγίων. Στήλη δὲ πασῶν τῶν θείων ἀρετῶν γενομένη, ἐκοιμήθη, ὡς ἐπόθει, εὐχομένη ἡ μακαρία ἐντὸς τοῦ ναοῦ παρὰ τὰ κράσπεδα τῆς ἁγίας Τραπέζης.

Ἡ δὲ ἁγιωτάτη Ἀνθοῦσα, ἐν Ἀντιοχείᾳ συζευχθεῖσα εἰς νεαρὰν ἡλικίαν τὸν περιφανῆ ἀξιωματικὸν Σεκοῦνδον καὶ εἰς τὴν Καθολικὴν Ἐκκλησίαν μετ' αὐτοῦ διὰ τοῦ Βαπτίσματος συνταχθεῖσα, ἔτεκεν ὡς ἄνθος πανευωδέστατον τὸν Χρυσόστομον πατέρα καὶ οἰκουμενικὸν διδάσκαλον Ἰωάννην, τὸν ἀνυπέρβλητον ῥήτορα καὶ χριστοειδῆ ποιμένα, εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως, θείᾳ νεύσει, ἀνελθόντα καὶ ὑπέρ τινα καὶ ἄλλον, ἐκεῖσε διαπρέψαντα. Μείνασα δὲ λίαν συντόμως χήρα καὶ ἐν χριστιανοπρεπεῖ καὶ σωφρονεστάτῳ βίῳ διάγουσα διὰ τῆς ὁσιακῆς πολιτείας εἵλκυσε τὸν θαυμασμὸν καὶ αὐτῶν εἰσέτι τῶν εἰδωλολατρῶν, διὰ τοῦ σοφιστοῦ Λιβανίου οὕτως ἐκφρασθέντων· «Οἷαι γυναῖκες παρὰ τοῖς Χριστιανοῖς τυγχάνουσιν»! Καταλιποῦσα δὲ καὶ μίαν θυγατέρα παρθένον, γενομένην εἶτα μοναχήν, ἀπῆλθεν καταφυτευθεῖσα εἰς τὰς αἰωνίους μονὰς τοῦ θείου Παραδείσου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰσαακίου, ἡγουμένου τῆς ἐν Κωνσταντινουπόλει Μονῆς τῶν Δαλμάτων.

*Στίχοι.*

Ψήφῳ Θεοῦ πρὸς θεῖον ἤρθη χωρίον,
Γῆς, Ἰσαάκιος ἐκλιπὼν τὸ χωρίον.
Θεῖον Ἰσαάκιον μόρος εἷλεν ἑνὶ τριακοστῇ.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Νατάλιος ξίφει τελειοῦται.

*Στίχοι.*

Χοροῦ γενέσθαι Μαρτύρων διὰ ξίφους,
Τὸν Νατάλιον μαρτυροῦσιν αἱ βίβλοι.

Ὁ ὅσιος πατὴρ ἡμῶν Βαρλαὰμ ἐν εἰρήνῃ τελειοῦται.

*Στίχοι.*

Τὸν Βαρλαὰμ ἔγνωκε καὶ γῆς τὰ ἄκρα,
Ἄκρως ἐνασκήσαντα μέχρι γῆν ἔδυ.

Οἱ ἅγιοι μάρτυρες Ῥωμανὸς καὶ Μελέτιος, ξίφει τελειοῦνται.

*Στίχοι.*

Ῥώμῃ Ῥωμανὸς συμπνέων Μελετίῳ,

Ἥκει μετ' αὐτοῦ συντελεσθῆναι ξίφει.

Οἱ ἅγιοι Εὐσέβιος, Ρωμανός, Μελέτιος, Χαράλαμπος, Χριστίνα καὶ πλῆθος ἑτέρων μαρτύρων, πυρὶ τελειοῦνται ἐν Νικομηδείᾳ.

*Στίχοι.*

Ζήλου πυρὶ φλεχθέντες ἀθλητῶν πλῆθος,
Ἰλιγγιῶσιν οὐδαμῶς πρὸς πῦρ φλέγον.

Ὁ ἅγιος μάρτυς Εὔπλους, βύρσῃ βοὸς ἑλιχθείς, καὶ ἐν φλέγοντι ἡλίῳ ἐκτεθείς, τελειοῦται.

*Στίχοι.*

Φλέγουσι βυρσέλικτον Εὔπλουν ἡλίῳ,
Οἱ φῶς νοητοῦ μὴ βλέποντες Ἡλίου.

Μνήμη τῶν ὁσίων πατέρων Κασσιανοῦ καὶ Νισθερώου.

*Στίχοι.*

Ὑπὲρ ὀσμὴν κασσίας τῆς φθειρομένης,
Ἣν Κασσιανὸς πνέει καὶ Νισθερῶος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Ἰακώβου τοῦ ἐν Γκάλιτς τῆς Ῥωσσίας.

*Στίχοι.*

Τοὺς ὁσιακοὺς ἱδρῶτας Ἰακώβου,
Δέδεκται Χριστὸς ὑπὲρ εὔοσμον μῦρον.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ᾨδὴ ζ´. Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ἀνδρείως πειρασμοὺς καθυπέμεινας, Ἐμμέλεια θεόσοφε, ἔχουσα ἐν νῷ, τὴν τοῦ Ἰὼβ διαγωγήν, καὶ Κυρίου ἐδόξαζες πρόνοιαν, ἐν ᾯ ταῖς χερσί τῆς ζωῆς σου, τὰς τρίβους παρέθηκας.

Νυκτί τε καὶ ἡμέρᾳ καρδίαν σου, Κυρίῳ ἀνεβίβαζες, διὰ προσευχῆς, ὁσιακῆς Νόννα σεμνή, καὶ αἰτήσεων εἶχες τὴν πλήρωσιν, τὴν πίστιν ὡς βάσιν τιθεμένη, βεβαίαν καὶ ἀκράδαντον.

Θαυμάσας, ἀρετήν σου Λιβάνιος, Ἀνθοῦσα ὡμολόγησεν· τῶν χριστιανῶν, οἷαι γυναῖκες ἐκλεκταί, καὶ Θεὸν ἀγαπῶσαι ὑπάρχουσιν, οὗ εὔστοχον κρίσιν τὴν σὴν μνήμην, τιμῶντες οἰκειούμεθα.

Θεοτοκίον

Οὐδείς σε, τῶν ἀνθρώπων Πανύμνητε, ὑμνῆσαι δυνηθήσεται, εἰ μὴ οἱ χοροί, τῶν οὐρανίων στρατιῶν, ὧν τὸν βίον τὸν ἄϋλον ἔζησας, τεκοῦσα τὸν Λόγον ἀποῤῥήτως, Θεὸν τὸν ὑπερένδοξον.

ᾨδὴ η΄. Αὕτη ἡ κλητή.

Ὕλης τῆς φθαρτῆς ἀπολαύσεις προσκαίρους, Ἐμμέλεια σωφρόνως, ὑπεριδοῦσα σὸν πλοῦτον, τοῖς πτωχοῖς δαψιλῶς, ἐχορήγησας Κυρίου τὸ ἔλεος, ὅπερ διαχέει, τῷ κόσμῳ μιμηθεῖσα.

Στήλη φαεινὴ εὐσεβείας φανεῖσα, καὶ πόθῳ τοῦ Δεσπότου, τὰς ἐντολὰς ἐκτελοῦσα, τοῖς ἐγγὺς καὶ μακράν, μῆτερ Νόννα βίβλος ζῶσα γεγένησαι, ὡς Παῦλος κελεύει, γυναίοις φιλοθέοις.

Ἁγιοπρεπῶς τὴν χηρείαν Ἀνθοῦσα, φυλάξασα ἁγνείας τὸν Κήρυκα τὸν μέγαν, Ἰωάννην κλεινόν, τὸν γλυκύτατον υἱόν σου Χρυσόστομον, πάσῃ Ἐκκλησίᾳ, ἀνέθηκας ὡς δῶρον.

Θεοτοκίον

Νέφη τῶν παθῶν ἀποδίωξον πόῤῥω, Νεφέλη ἡ τεκοῦσα τὸν Ἥλιον ἀφθόρως, καὶ φωτὸς νοεροῦ, καταξίωσον πάντας

τοὺς μέλποντας, ἐκ ψυχῆς Παρθένε, εἰς πάντας τοὺς αἰῶνας.

ᾨδὴ θ΄. Φωτίζου, φωτίζου.

Ἀγάλλου ὁρῶσα, τοὺς σοὺς φιλτάτους συγγενεῖς, ἐν χοροῖς Παραδείσου, σὺν Ἁγίων τάγμασι, σύζυγον τέκνα γονεῖς παγγενῶς, στέφος λαμπρόν, τῆς ἀθανασίας, ἀπολαβόντας Ἐμμέλεια.

Δυνάμει εὐχῶν σου, Νόννα εἰς πίστιν ἀληθῆ, σύζυγόν σου ἑλκύσαι, θαυμαστῶς κατώρθωσας, νῦν δὲ Τριάδα ὁρᾶτε σεπτήν, ἐν οὐρανοῖς σὺν τριάδι τέκνων, ἠξιωμένοι ἁγιότητος.

Ὢ μῆτερ ὁσία, τοῦ ἐν ἁγίοις θαυμαστοῦ, Χρυσοστόμου Ἀνθοῦσα, ἧς τιμῆς ἠξίωσαι! τοιοῦτον ἄνδρα γεννῆσαι λαμπρόν, μεθ' οὗ ἀεὶ νῦν ἐν Παραδείσου, σκηνώμασιν κατευφραίνεσθε.

Θεοτοκίον

Αἰώνιον δόξαν, ἅμα τρισὶν ὑμῶν υἱοῖς, ἐκ τῆς θείας Τριάδος, σχοῦσαι παναοίδιμοι, ταύτης ἡμᾶς ἀξιώσατε, σὺν τῇ Ἁγνῇ, Κύριον τῆς δόξης, διηνεκῶς ἐξιλεούμεναι.

Ἐξαποστειλάριον
Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Φιλόθεοι, φιλόστοργοι καὶ καλλίτεκνοι ἅμα, ἐδείχθητε μακάριαι, πρότυπα γεγονυῖαι, πιστευουσῶν τῷ Κυρίῳ, καὶ ἐλπίδι χρωμένων, ὅπως οἴκους ποιήσωσιν, ἑαυτῶν ἐκκλησίας καὶ πανοικεί, Βασιλείας ἄνω ἐπαγγελίας, καλῶς κληρονομήσωσιν, ὑμετέραις πρεσβείαις.

Τῆς προλαβούσης ἑορτῆς.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ὁλοψύχως πιστεύσασαι, τῶν Γραφῶν τοῖς διδάγμασι, καὶ πτεροῖς τοῦ Πνεύματος κουφιζόμεναι, νοῦν δὲ Κυρίου κτησάμεναι, τοῦ βίου τὸ πρόσκαιρον, μελετήσασαι σοφῶς, περιττὰ ἀπεβάλετε, καὶ σκοπεύσασαι, τὰ οὐράνια κάλλη ὑμῶν οἴκους, ἐργαστήρια ἁγίων, θεῖαι Μητέρες ἐδείξατε.

Ἐκ προγόνων εὐσέβειαν, κλῆρον θεῖον Ἐμμέλεια, ἔχουσα ἐπηύξησας ταύτην ἄριστα, καὶ ἐν Κυρίῳ ἐκθρέψασα, ἐννάδα τῶν τέκνων σου, νῦν εὐφραίνῃ πανοικεί, σὺν Ἁγίων τοῖς τάγμασι, ὡς ἐπόθησας, ἔνθεν πάντας μνημόνευε Ὁσία, τοὺς ἐν ὕμνοις ἐκτελοῦντας, κοσμοχαρμόσυνον μνήμην σου.

Τὴν ἐγρήγορσιν σύμβιον ἐν εὐχαῖς σου πλουτήσασα, Νόννα κατηξίωσαι τῆς κοιμήσεως, θείᾳ τραπέζῃ ἐγγίσασα, σαὐτὴν ὄντως τράπεζαν ἀναδείξασαν Χριστοῦ, καὶ ὡς ἄρτους προσάξασα, τῆς κοιλίας σου, τὸν καρπὸν ἁγιώνυμον τριάδα, τῶν φιλτάτων σου ἐκγόνων, καὶ σὺν αὐτοῖς σου τὸν σύζυγον.

Οὐχὶ ἄνθος εὐμάραντον, ἀλλὰ δένδρον θεόῤῥιζον, Ἰωάννην ἔτεκες τὸν Χρυσόστομον, παρ' οὗ χορεῖαι ἐκτρέφονται, Ἀνθοῦσα δρεπόμεναι, χρυσολόγους διδαχάς, ἃς ὡς θεῖον θησαύρισμα καταλέλοιπεν, Ἐκκλησίᾳ διό περ εὐγνωμόνως, ἑορτάζοντες σὴν μνήμην, ᾠδαῖς εὐφήμοις γεραίρομεν.

Δόξα. Ἦχος πλ.δ΄.

Τὸ βασίλειον τῆς θείας εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ ἀμαράντου κάλλους, ἐκ χειρὸς Κυρίου δικαίως ἐδέξασθε, ἁγιώταται Μητέρες, Ἐμμέλεια, Νόννα τε καὶ Ἀνθοῦσα. Ὑμῖν γὰρ ἐμπρέπει ὁ εὐαγγελικὸς μακαρισμός, ὅτι αἱ κοιλίαι ὑμῶν μακαριώταται γεγόνασιν, ὡς τοὺς τρεῖς μεγίστους διδασκάλους τῆς Ἐκκλησίας τετόκασιν. Μεθ' ὧν

ἐν Παραδείσῳ λαμπρῶς συγχορεύουσαι, μνήσθητε δεόμεθα τῶν Χριστιανῶν μητέρων, καὶ πάντων τῶν τιμώντων, τὸ ἱερὸν ὑμῶν μνημόσυνον.

Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου.

Εἰς τὴν Θείαν Λειτουργίαν· Τυπικὰ καὶ εἰς τοὺς Μακαρισμοὺς ἡ γ΄καὶ στ΄ ᾠδαί.

Ὁ Ἀπόστολος

Καυχήσονται ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Καθολικῆς Α΄ Ἐπιστολῆς Πέτρου τὸ ἀνάγνωσμα(3,1-6)

Ἀδελφοί, λέγω ὑμῖν ὅπως αἱ γυναῖκες ὑποτάσησθε τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσωνται, ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. Ὧν ἔστω ούχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν καὶ περιθέσεως χρυσίων ἤ ἐνδύσεως ἱματίων κόσμος, ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές. Οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεὸν ἐκόσμουν ἑαυτάς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ὡς Σάῤῥα ὑπήκουσε τῷ Ἀβραάμ, κύριον αὐτὸν καλοῦσα· ἧς ἐγενήθητε τέκνα· ἀγαθοποιοῦσαι καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν.

Τὸ Εὐαγγέλιον

Κατὰ Ματθαῖον(10,37-42)·

Εἶπεν ὁ Κύριος· Ὁ φιλῶν πατέρα ἤ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἤ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος· καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. Ὁ δεχόμενος

ὑμᾶς ἐμὲ δέχεται, καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με. Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται, καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται. Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάρια

Δεῦτε τὰς Μητέρας Ἱεραρχῶν, Νόνναν τε Ἀνθοῦσαν, καὶ Ἐμμέλειαν ἐν ᾠδαῖς, οἱ πιστοὶ τιμῶντες, πλουτήσωμεν πρεσβείαις, αὐτῶν πρὸς τὸν Δεσπότην, Ἁγίων Κύριον.

Δέξασθε μητέρων χριστιανῶν, Ὅσιαι Μητέρες, τὰς δεήσεις καὶ τὰς εὐχάς, ἃς ὑπὲρ τῶν τέκνων, προσάγουσιν ἐν πίστει, καὶ ταύτας τῷ Κυρίῳ, μεταβιβάσατε.

Τοὺς ἐπιτελοῦντας τὴν ἱεράν, καὶ φωσφόρον μνήμην, ἐν τῷ θείῳ ὑμῶν ναῷ, πανοικεὶ δωρεῖσθε, τὴν θείαν εὐλογίαν, Ἐμμέλεια Ἀνθοῦσα καὶ Νόννα πάνσεμνοι.

Στίχοι

Τριάδος Διδασκάλων αἱ τρεῖς Μητέρες,
Τριάδα πάνταρχον, ἡμῖν ἱλεοῦσθε.



Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα Ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω, τῇ 16. 11. 2012.